# GRE1002 Vår 2020 - utsatt eksamen

Oppgaven består av 4 deler.

Del I av oppgaven tar utgangspunkt i utdrag fra tekstene du har arbeidet med gjennom semesteret. Du skal ikke oversette disse to tekstutdragene.

Tekstutdrag 1

οὐδέποτ᾽ ἐξευρήσετε, ὦ θεαταί. εἰ δὴ βούλεσθε εἰδέναι τίς ἡ νόσος ἡ τῷ πατρὶ ἐμπεσοῦσα, σιωπᾶτε νῦν. λέξω γὰρ ὑμῖν ἐν ἀπορίᾳ δὴ οὖσι τὴν τοῦ γέροντος νόσον. φιληλιαστής ἐστιν ὥσπερ οὐδεὶς ἀνήρ. δίκας γὰρ ἀεὶ δικάζει καὶ τὸ δικαστήριον φιλεῖ, τῆς μὲν ἡμέρας καθιζόμενος ἐν τῷ δικαστηρίῳ, τῆς δὲ νυκτὸς ὀνειροπολῶν δίκας. καίτοι οἱ μὲν ἐρασταὶ γράφουσιν ἐν θύρᾳ τινί ‘Δῆμος καλός’, οὗτος δὲ ἰδὼν καὶ προσιὼν παραγράφει πλησίον ‘Κημὸς καλός’. τοῦτον οὖν φυλάττομεν τούτοις τοῖς μοχλοῖς ἐγκλείσαντες, πολλοῖς τε οὖσι καὶ μεγάλοις. ὁ γὰρ υἱός αὐτοῦ, ἐπεὶ τὸν πατέρα ἔμαθεν φιληλιαστὴν ὄντα, τὴν νόσον βαρέως φέρων, πρῶτον μὲν ἐπειρᾶτο ἀναπείθειν αὐτὸν μὴ ἐξιέναι θύραζε, τοιάδε λέγων·

‘διὰ τί’, ἦ δ’ ὅς, ‘ἀεὶ δίκας δικάζεις, ὦ πάτερ, ἐν τῷ δικαστηρίῳ; ἆρ’ οὐ παύσῃ ἡλιαστὴς ὤν; ἆρα τῷ σῷ υἱῷ οὐ πείσῃ;’

ὁ δὲ πατὴρ αὐτῷ μὴ ἐξιέναι ἀναπείθοντι οὐκ ἐπείθετο. εἶτα ὁ υἱὸς τὸν πατέρα ἐκορυβάντιζεν. ὁ δὲ πατήρ, εἰς τὸ δικαστήριον ἐμπεσών, αὐτῷ τῷ τυμπάνῳ ἐδίκαζεν. ἐντεῦθεν ἔνδον ἐγκλείσαντες αὐτὸν ἐφυλάττομεν τούτοις τοῖς δικτύοις. ἔστι δ’ ὄνομα τῷ μὲν γέροντι Φιλοκλέων, τῷ δ’ υἱῷ γε τούτῳ Βδελυκλέων.

Tekstutdrag 2

οὐκοῦν περιφανῶς ἐπιδεικνύω ὑμῖν καὶ αὐτοὺς τοὺς οἰκείους Νεαίρας ταυτησὶ καταμαρτυρήσαντας αὐτὴν ξένην εἶναι, Στέφανόν τε τουτονὶ τὸν ἔχοντα ταύτην νυνὶ καὶ συνοικοῦντ’ αὐτῇ καὶ Φράστορα τὸν λαβόντα τὴν θυγατέρα. ὁ μὲν γὰρ Στέφανος καταμαρτυρεῖ Νεαίρας διὰ τὸ μὴ ἐθελῆσαι ἀγωνίσασθαι ὑπὲρ τῆς θυγατρὸς περὶ τῆς προικός, Φράστωρ δὲ μαρτυρεῖ ἐκβαλεῖν τε τὴν θυγατέρα τὴν Νεαίρας ταυτησὶ καὶ οὐκ ἀποδοῦναι τὴν προῖκα, ἔπειτα δὲ αὐτὸς ὑπὸ Νεαίρας καὶ Φανοῦς πεισθῆναι, διὰ τὴν ἀσθένειαν καὶ τὸ ἄπαις εἶναι καὶ τὴν ἔχθραν τὴν πρὸς τοὺς οἰκείους, ἀναλαβεῖν τὸ παιδίον καὶ υἱὸν ποιήσασθαι, αὐτὸς δὲ εἰσαγαγεῖν τὸν παῖδα εἰς τοὺς γεννήτας, ἀλλ’ οὐκ ὀμόσαι τὸν υἱὸν ἐξ ἀστῆς γυναικὸς εἶναι· ὕστερον δὲ γῆμαι γυναῖκα ἀστὴν κατὰ τὸν νόμον. αὗται δὲ αἱ πράξεις, περιφανεῖς οὖσαι, μεγάλας μαρτυρίας διδόασιν, ὅτι ᾔδεσαν ξένην οὖσαν τὴν Νέαιραν ταυτηνί. εἰ γὰρ ἀστὴ ἦν Νέαιρα, οὐκ ἂν ἐξεπέμφθη ἡ Φανώ. Φανὼ γὰρ ἀστὴ ἂν ἦν. καὶ δὴ καί, εἰ Φανὼ ἀστὴ ἦν, οἱ γεννῆται οὐκ ἂν ἀπεψηφίσαντο τοῦ παιδὸς αὐτῆς. διὰ οὖν τὸ μὴ ἐθέλειν ὀμόσαι τὸν Φράστορα καὶ τὸ τοὺς γεννήτας τοῦ παιδὸς ἀποψηφίσασθαι, Στέφανος δῆλός ἐστιν ἀδικῶν καὶ ἀσεβῶν εἴς τε τὴν πόλιν καὶ τοὺς θεούς.

# Del I

Svar på spørsmålene under med utgangspunkt i utdragene 1 og 2 fra tekstene du har arbeidet med gjennom semesteret. Når du forklarer grammatikken, skal du skrive minst en fullstendig setning til hvert spørsmål.

A. Spørsmål til tekstutdrag 1

1. εἰδέναι: Bestem formen og forklar den syntaktiske konstruksjonen den er brukt i.
2. ἐμπεσοῦσα: Bestem formen og forklar bruken av grammatisk kjønn.
3. γέροντος: Bestem formen. Hvilken deklinasjon hører dette ordet til?
4. τῆς...νυκτὸς: Forklar kasusbruken.
5. τούτοις τοῖς μοχλοῖς: Forklar kasusbruken.
6. ἔμαθεν: Bestem formen. Skriv oppslagsformen av ordet.
7. ἐξιέναι: Bestem formen og forklar den syntaktiske konstruksjonen den er brukt i.
8. παύσῃ: Bestem formen.
9. αὐτῷ: Forklar kasusbruken.
10. ἔστι δ᾽ ὄνομα τῷ μὲν γέροντι Φιλοκλέων: Analyser setningen ved hjelp av syntaktiske funksjoner.

B. Spørsmål til tekstutdrag 2

1. ἐπιδεικνύω: Forklar hvordan dette verbet konstrueres.
2. καταμαρτυρήσαντας: Forklar hvordan dette verbet konstrueres.
3. συνοικοῦντ᾽: Forklar hvordan dette verbet konstrueres.
4. τὸ μὴ ἐθελῆσαι: Hva kaller vi denne konstruksjonen? Hvem er subjektet for verbformen?
5. ὑπὸ Νεαίρας καὶ Φανοῦς πεισθῆναι: Hvilken funksjon har preposisjonsfrasen? Hvilken diatese har verbformen?
6. εἰ γὰρ ἀστὴ ἦν Νέαιρα, οὐκ ἂν ἐξεπέμφθη ἡ Φανώ: Hva slags betingelsessetning er dette? Hvilke andre typer betingelsessetninger har du lært?

# Del II

I del II skal du oversette de fem setningene under til gammelgresk. Her må du skrive greske bokstaver, og denne oppgaven skal derfor leveres som et eget dokument. Du kan enten skrive greske bokstaver på data i et eget dokument eller skrive gresk for hånd og ta et bilde av arket ditt. Du må laste opp dokumentet i pdf-format/bildet i Inspera sammen med resten av eksamensbesvarelsen din.

Oversett setningene under til gammelgresk.

1. Kunne du fortelle meg historien om byen?
2. Den athenske mannen, som dere ser i rettssalen, bor sammen med en fremmed kvinne.
3. Hvis jeg hadde vært barnløs, ville jeg ha tatt barnet tilbake.

4. Kommer sønnen til å høre på faren som oppfordret ham til ikke å gå ut?
5. Vet du hvilken sykdom som har rammet (bruk ’falt ned på’) alle disse kvinnene?

# Del III

I del III skal du oversette teksten under fra gammelgresk. Du kan oversette til norsk eller svensk, dansk eller engelsk.

τοῦ δὲ <u>Κόδρου</u> ἐν ταῖς Ἀθήναις <u>βασιλεύοντος</u> οἱ <u>Πελοποννήσιοι</u> εἰς τὴν χώραν <u>ἐστράτευσαν</u>. καὶ πρῶτον μέν πρέσβεις ἔπεμψαν εἰς <u>Δελφοὺς</u> ἐρωτήσοντας εἰ τὰς Ἀθήνας λήψονται. ὁ δὲ θεὸς ἀπεκρίνατο ὅτι νικήσουσιν εἰ μὴ τὸν τῶν Ἀθηναίων βασιλέα ἀποκτενοῦσιν. ὁ μέντοι Κόδρος ταῦτα μαθὼν καὶ βουλόμενος τὴν <u>πατρίδα</u> σῴζειν <u>ἐξηπάτησε</u> τοὺς πολεμίους. <u>στολὴν</u> γὰρ <u>πτωχοῦ</u> ἔχων ἐξῆλθεν ἐκ τῶν τῆς πόλεως τειχῶν καὶ <u>φρύγανα</u> συνέλεγεν. δυοῖν δὲ στρατιωτῶν τῶν Πελοποννησίων προσελθόντων τὸν μὲν <u>ἕτερον</u> εὐθὺς ἀπέκτεινεν. ὁ δὲ <u>ἕτερος</u> ὀργιζόμενος ἀπέκτεινε τὸν βασιλέα, νομίζων αὐτὸν πτωχὸν εἶναι. οἱ οὖν Ἀθηναῖοι <u>κήρυκα</u> πρὸς τοὺς Πελοποννησίους ἔπεμψαν τὸν τοῦ βασιλέως νεκρὸν αἰτήσοντα. οἱ δὲ Πελοποννήσιοι τὰ ἀληθῆ μαθόντες τὸν νεκρὸν <u>παρέδοσαν</u> καὶ οἴκαδε ἐπανῆλθον. ἔγνωσαν γὰρ οὐκέτι οἷοί τ’ ὄντες τὴν τῶν Ἀθηναίων χώραν λαβεῖν.

**Gloser**: Κόδρος -ου, ὁ ’Kodros’ / βασιλεύω ’jeg er konge’ / Πελοποννήσιοι -ων, οἱ ’peloponneserne’ / στρατεύω ’jeg marsjerer, er på krigstokt’ / πρέσβεις -εων, οἱ ’ambassadører, utsendinger’ / Δελφοί, -ῶν, οἱ ’Delfi’ / πατρίς -ίδος, ἡ ’fedreland’ / ἐξαπατάω ’jeg lurer, narrer’ / στολή -ης, ἡ ’klær’ / πτωχός -ου, ὁ ’tigger’ / φρύγανον -ου, τό ’ved (til å fyre med)’ / ὁ μὲν ἕτερος... ὁ δὲ ἕτερος ’den ene... den andre...’ / κῆρυξ -υκος, ὁ ’herold’ / παρέδοσαν ’de overgav’

# Del IV

I del IV skal du identifisere former og finne mønstre. Du skal angi svarene dine med koordinatene til formene som hører sammen etter dette mønsteret: A1 (= γράφῃ), B2 (= γεγραφότι), osv. Svaret på hver oppgave blir dermed en rekke koordinater.

A.

| | A | B | C | D | E |
|---|---|---|---|---|---|
| 1 | παύῃ | παύω | ἐπαύσατε | παύσειν | παύσειας |
| 2 | παύσητε | πεπαυκότι | πεπαυκυῖαι | παύσαιμεν | παύειν |
| 3 | πεπαύκωσιν | ἐπαύσατε | παύεις | παύοιτε | παύσοιμι |
| 4 | παύομεν | παυσάντων | παύοντας | ἔπαυον | παύσαιτε |
| 5 | πεπαυκέναι | παύσουσιν | παύσεις | παῦσαι | ἐπαύσαμεν |
| 6 | παῦε | ἔπαυες | παυόντων | ἔπαυσα | παύσετε |
| 7 | παύσας | παύσῃς | παύσασα | παύσοιεν | παυέτω |
| 8 | πεπαύκαμεν | παύσειαν | πεπαύκωμεν | παύσοντος | παύοις |

Oppgave 1: Finn alle indikativformene i tabellen.
Oppgave 2: Finn alle aoristformene i tabellen.
Oppgave 3: Finn optativformene i tabellen.
Oppgave 4: Finn alle partisippformene i tabellen.
Oppgave 5: Finn alle infinitivene i tabellen.

B.

| | A | B | C | D | E |
|---|---|---|---|---|---|
| 1 | εὑρήσοιτε | εὑρώμεθα | εὑρισκόμενον | εὑροῦ | ηὑρισκόμην |
| 2 | εὑρεθείη | εὕρεσθε | εὑρέσθαι | εὑρίσκησθε | ηὕροντο |
| 3 | εὑρίσκοιο | εὑρισκέσθων | εὑρίσκομαι | εὑρίσκου | εὕρωνται |
| 4 | εὑρίσκεσθαι | εὑρησοίμεθα | εὕροιτο | εὑρησόμεθα | εὑρημένα |
| 5 | εὑρήσεσθαι | εὑρόμην | εὕρημαι | εὕροιο | εὑρησοίμην |
| 6 | εὑρίσκῃ | εὑρήσεσθε | εὑρίσκωνται | ηὑρίσκου | εὑρομένη |
| 7 | εὑρισκοίμεθα | εὑρίσκοιντο | εὑρέθης | ηὕρετο | εὑρισκέσθω |
| 8 | εὑρεθεῖεν | εὕροιντο | ηὕρεσθε | εὑρεθῇ | εὑρισκώμεθα |

Oppgave 1: Finn alle konjunktivformene i tabellen.

Oppgave 2: Finn alle imperativformene i tabellen.

Oppgave 3: Finn alle futurumformene i tabellen.

Oppgave 4: Finn alle aorist passiv-formene i tabellen.